κειτο[48]. Λαβὼν οὖν αὐτὴν τοῖς ὄνυξι, καὶ εἰς ὕψος ἀνενεγκὼν[49], εἶτ' ἀφῆκεν. Ἡ δὲ[50], κατὰ πετρῶν[51] πεσοῦσα συνετρίβη.

### ΚΑΡΚΙΝΟΣ καὶ ΜΗΤΗΡ.

Ἡ μήτηρ πρὸς τὸν καρκῖνον[52], τί λοξὴν ὦ παῖ, βαδίζεις ὁδὸν, ὀρθὴν ἰέναι[53] προσῆκον; Ὁ δὲ πρὸς αὐτήν· Ἡγοῦ τῆς ὁδοῦ[54] ὦ μῆτερ, καὶ πρὸς αὐτὴν βαδίζειν πειράσομαι.

### ΚΥΩΝ.

Κύων κρέας φέρων[55] ποταμὸν διέβαινε· θεασάμενος δὲ τὴν ἑαυτοῦ σκιὰν ἐπὶ τοῦ ὕδατος, ὑπέλαβεν ἕτερον κύνα εἶναι[56] κρέας κατέχοντα. Καὶ ἀφεὶς τὸ ἴδιον, ὥρμησε τὸ ἐκείνου[57] λαβεῖν· ἀπώλεσε δὲ ἀμφότερα· τὸ μὲν γὰρ[58] οὐκ ἦν, ὃ[59] δὲ τοῦ ῥεύματος κατεσύρετο.

### Ο ΔΥΩ ΠΗΡΑΣ ΕΞΗΜΜΕΝΟΣ.

Ἀνθρώπων[60] ἕκαστος δύω πήρας φέρει, τὴν μὲν[61] ἔμπροσθεν, τὴν δὲ ὄπισθεν· γέμει δὲ κακῶν[62] ἑκατέρα. Ἀλλὰ ἡ μὲν ἔμπροσθεν τῶν ἀλλοτρίων[63] ἡ δὲ ὄπισθεν τῶν αὐτοῦ τοῦ φέροντος[38]. Καὶ διὰ τοῦτο οἱ ἄνθρωποι τὰ μὲν ἐξ αὐτῶν κακὰ οὐχ ὁρῶσι, τὰ δὲ ἀλλότρια πάνυ ἀκριβῶς θεῶνται.

### ΟΝΟΣ καὶ ΛΕΟΝΤΗ.

Ὄνος, δορὰν λέοντος ἐπενδυθεὶς, λέων ἐνομίζετο πᾶσι[64]. Καὶ φυγὴ μὲν ἦν ἀνθρώπων[65], φυγὴ δὲ ποιμνίων. Ὡς δὲ, ἀνέμου πνεύσαντος, ἡ δορὰ περιῃρέθη, καὶ γυμνὸς ὁ ὄνος ἦν, τότε πάντες ἐπιδραμόντες ξύλοις καὶ ῥοπάλοις αὐτὸν ἔπαιον.

### ΟΝΟΣ ΑΓΡΙΟΣ.

Ὄνος ἄγριος, ὄνον ἰδὼν ἥμερον ἔν τινι εὐηλίῳ[66] τόπῳ, προσελθὼν, αὐτὸν ἐμακάριζεν ἐπί τε τῇ εὐεξίᾳ[67] τοῦ σώματος, καὶ τῇ τῆς τροφῆς ἀπολαύσει· ὕστερον δὲ ἰδὼν αὐτὸν ἀχθοφοροῦντα, καὶ τὸν ὀνηλάτην ὄπισθεν ἑπόμενον, καὶ ῥοπάλοις αὐτὸν παίοντα, ἔφη· ἀλλ' ἔγωγε οὐκ ἔτι σε εὐδαιμονίζω[68]· ὁρῶ γὰρ, ὡς οὐκ ἄνευ κακῶν μεγάλων τὴν εὐδαιμονίαν ἔχεις.

### ΕΛΑΦΟΣ καὶ ΛΕΩΝ.

Ἔλαφος δίψῃ συσχεθεῖσα[69], παρεγένετο ἐπί τινα πηγήν· πιοῦσα δὲ, ὡς ἐθεάσατο τὴν ἑαυτῆς σκιὰν κατὰ τοῦ ὕδατος[70], ἐπὶ μὲν τοῖς κέρασιν[71] ἠγάλλετο, ὁρῶσα τὸ μέγεθος καὶ τὴν ποικιλίαν[72]· ἐπὶ δὲ τοῖς ποσὶ σφόδρα ἤχθετο, ὡς λεπτοῖς οὖσι καὶ ἀσθενέσιν· ἔτι δὴ αὐτῆς διανοουμένης[73], λέων ἐπιφανεὶς, ἐδίωκεν αὐτήν· κἀκείνη εἰς φυγὴν τραπεῖσα, κατὰ πολὺ[74] αὐτοῦ προεῖχε· μέχρι μὲν οὖν ψιλὸν[75] ἦν τὸ πεδίον, ἡ μὲν[76] προθέουσα,

---

48) Ἐπέμενε. Δ. Σ. 49) Ἀναφέρω. 50) Ἐλλείπει: χελώνη. 51) Κ. §. 458, Κατὰ, ά. 52) Ἐλλείπει: ἔφη. 53) Εἶμι. 54) Κ. §. 439, 6'. 55) Κρατῶν εἰς τὸ στόμα. 56) Τὴν σκιὰν ὑπέλαβεν εἶναι ἕτερον κύνα. 57) Τὸ κρέας ἐκείνου. 58) Τὸ μὲν γὰρ ἦν (κρέας τὸ τῆς σκιᾶς). 59) Ἐκεῖνο, ὅ. 60) Κ. §. 247, 6'. 61) Ἐλλείψει τοῦ μίαν. 62) Κ. §. 247, δ'. 63) Ἐλλείπει: κακῶν γέμει. 64) Κ. §. 365. 65) Δηλ. ἔφευγον οἱ ἄνθρωποι.

66) Ἡλιαζομένῳ, ἔχοντι καλὸν ἥλιον. 67) Διὰ τὴν εὐεξίαν. 68) Εὐδαίμονα λέγω, μακαρίζω. 69) Ὑπὸ δίψης κυριευθεῖσα. 70) Πίπτουσαν εἰς τὸ ὕδωρ. 71) Διὰ τὰ κέρατα.

72) Αὐτῶν. 73) Γενικὴ ἀπόλυτος χρόνου σημαντική. 74) Μεγάλως. 75) Χωρὶς δένδρα. 76) Αὕτη.